15 ἐν τῷ διαστέλλειν τὸν ἐπουράνιον βασιλεῖς ἐπ᾽ αὐτῆς
χιονωθήσονται ἐν Σελμων.
16 ὄρος τοῦ θεοῦ ὄρος πῖον,
ὄρος τετυρωμένον, ὄρος πῖον.
17 ἵνα τί ὑπολαμβάνετε, ὄρη τετυρωμένα,
τὸ ὄρος, ὃ εὐδόκησεν ὁ θεὸς κατοικεῖν ἐν αὐτῷ;
καὶ γὰρ ὁ κύριος κατασκηνώσει εἰς τέλος.
18 τὸ ἅρμα τοῦ θεοῦ μυριοπλάσιον,
χιλιάδες εὐθηνούντων·
ὁ κύριος ἐν αὐτοῖς ἐν Σινα ἐν τῷ ἁγίῳ.
19 ἀνέβης εἰς ὕψος, ᾐχμαλώτευσας αἰχμαλωσίαν,
ἔλαβες δόματα ἐν ἀνθρώπῳ,
καὶ γὰρ ἀπειθοῦντες τοῦ κατασκηνῶσαι.
κύριος ὁ θεὸς εὐλογητός,
20 εὐλογητὸς κύριος ἡμέραν καθ᾽ ἡμέραν,
κατευοδώσει ἡμῖν ὁ θεὸς τῶν σωτηρίων ἡμῶν.
διάψαλμα.
21 ὁ θεὸς ἡμῶν θεὸς τοῦ σῴζειν,
καὶ τοῦ κυρίου κυρίου αἱ διέξοδοι τοῦ θανάτου.
22 πλὴν ὁ θεὸς συνθλάσει κεφαλὰς ἐχθρῶν αὐτοῦ,
κορυφὴν τριχὸς διαπορευομένων ἐν πλημμελείαις αὐτῶν.
23 εἶπεν κύριος Ἐκ Βασαν ἐπιστρέψω,
ἐπιστρέψω ἐν βυθοῖς θαλάσσης,
24 ὅπως ἂν βαφῇ ὁ πούς σου ἐν αἵματι,
ἡ γλῶσσα τῶν κυνῶν σου ἐξ ἐχθρῶν παρ᾽ αὐτοῦ.
25 ἐθεωρήθησαν αἱ πορεῖαί σου, ὁ θεός,
αἱ πορεῖαι τοῦ θεοῦ μου τοῦ βασιλέως τοῦ ἐν τῷ ἁγίῳ.
26 προέφθασαν ἄρχοντες ἐχόμενοι ψαλλόντων
ἐν μέσῳ νεανίδων τυμπανιστριῶν.
27 ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν θεόν,
τὸν κύριον ἐκ πηγῶν Ισραηλ.
28 ἐκεῖ Βενιαμιν νεώτερος ἐν ἐκστάσει,
ἄρχοντες Ιουδα ἡγεμόνες αὐτῶν,
ἄρχοντες Ζαβουλων, ἄρχοντες Νεφθαλι.
29 ἔντειλαι, ὁ θεός, τῇ δυνάμει σου,
δυνάμωσον, ὁ θεός, τοῦτο, ὃ κατειργάσω ἡμῖν.
30 ἀπὸ τοῦ ναοῦ σου ἐπὶ Ιερουσαλημ

$17^2$ ο θεος > S† || $19^1$ ανεβης *L*] -βη S, αναβας B | ηχμαλωτευσεν S | $19^2$ ανθρωποις S || $20^2$] pr. και B || $21^1$ θεος 2⁰ S†] pr. o rel. | $21^2$ κυριου 2⁰ *L*] > BS || $22^2$ πλημμελια S | αυτων *L*] -του B†, > S || $25^2$ βασ.] + μου S^c || $26^1$ εχομενα S || $28^2$ > S† | $28^3$ νεφθαλειμ S || $29^1$ ο > B† | $29^2$ κατειργασω Bo] κατηρτισω BS